γοῦντες εἰς τὸ θέατρον. ἂν γὰρ ἐκλογισθῇ | τῶν δραμάτων **349**
ἕκαστον ὅσου κατέστη, πλέον ἀνηλωκὼς φανεῖται ὁ δῆμος
εἰς Βάκχας καὶ Φοινίσσας καὶ Οἰδίποδας καὶ Ἀντιγόνην
καὶ τὰ Μηδείας κακὰ καὶ Ἠλέκτρας, ὧν ὑπὲρ τῆς
ἡγεμονίας καὶ τῆς ἐλευθερίας πολεμῶν τοὺς βαρβάρους
ἀνάλωσεν. οἱ μὲν γὰρ στρατηγοὶ πολλάκις παραγγείλαντες
ἄπυρα σιτία κομίζειν ἐξῆγον ἐπὶ τὰς μάχας τοὺς ἄνδρας·
καὶ νὴ Δί' οἱ τριήραρχοι τοῖς ἐλαύνουσιν ἄλφιτα παρα-
σκευάσαντες, ὄψον δὲ κρόμμυα ⟨καὶ⟩ τυρόν, ἐνεβίβαζον
εἰς τὰς τριήρεις· οἱ δὲ χορηγοὶ τοῖς χορευταῖς ἐγχέλεια
καὶ θριδάκια καὶ σκελίδας καὶ μυελὸν παρατιθέντες,
εὐώχουν ἐπὶ πολὺν χρόνον φωνασκουμένους καὶ τρυ-
φῶντας. καὶ τούτων τοῖς μὲν ἡττηθεῖσι περιῆν προσυ- B
βρίσθαι καὶ γεγονέναι καταγελάστους· τοῖς δὲ νικήσασιν
ὁ τρίπους ὑπῆρχεν, οὐκ ἀνάθημα τῆς νίκης, ὡς Δημήτριός
φησιν, ἀλλ' ἐπίσπεισμα τῶν ἐκκεχυμένων βίων καὶ τῶν
ἐκλελοιπότων κενοτάφιον οἴκων. τοιαῦτα γὰρ τὰ ποιητικῆς
τέλη καὶ λαμπρότερον οὐδὲν ἐξ αὐτῶν.

7. Τοὺς δὲ στρατηγοὺς αὖ πάλιν ἐνθένδε παριόντας
σκοπῶμεν, ὧν παρερχομένων ὡς ἀληθῶς 'εὐφημεῖν χρὴ
κἀξίστασθαι' τοὺς ἀπράκτους καὶ ἀπολιτεύτους καὶ
ἀστρατεύτους, 'ὅστις ἄτολμος πρὸς ἔργα τοιαῦτα καὶ
γνώμῃ μὴ καθαρεύει, μηδὲ Μιλτιάδου τοῦ μηδοφόνου
μηδὲ τοῦ περσοκτόνου Θεμιστοκλέους χειρὸς βακχεῖ' C
ἐτελέσθη.' Ἀρήιος ὁ κῶμος οὗτος ἐκ γῆς ἅμα φάλαγξι